179

Περιθεωρίου · Τραϊανουπόλεως. 6862-1354

ὁ Πατριάρχης Κάλλιστος συμβουλεύει τὸν λαὸν Περιθεωρίου νὰ ὑπακούῃ εἰς τὸν μητρ. Τραϊανουπόλεως

+ Εὐλαβέστατοι κληρικοὶ τῆς ἁγιωτάτης ἐκκλησίας Περιθεωρίου καὶ ὁ ὑπὸ τὴν ἐνορίαν ταύτης καὶ ἐπικράτειαν εὑρισκόμενος τοῦ κυρίου λαός, ἱερωμένοι, ἄρχοντες, καὶ λαϊκοί, ἀγαπητὰ κατὰ κύριον τέκνα τῆς ἡμῶν μετριότητος, χάριν, εἰρήνην, ἔλεος, εὐθηνίαν δὲ τῶν ἀγαθῶν καὶ ψυχικὴν σωτηρίαν ἐπεύχεται πᾶσιν ὑμῖν ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. Ἀπὸ τῆς ἀπολυθείσης συνοδικῆς πράξεως τῆς ἡμῶν μετριότητος μάλιστα γνωρίσειν, ὅπως ἐτάχθη εὑρίσκεσθαι ὁ ἱερώτατος μητροπολίτης Τραϊανουπόλεως εἰς τὴν αὐτὴν ἁγιωτάτην ἐκκλησίαν, καὶ ὅπως ὀφείλει ἔχειν ταύτην αὐτὴν εἰς καθίσματα. Ὁ γοῦν τοιοῦτος ἱερώτατος ἀρχιερεὺς καὶ γεννηθεὶς καὶ παιδευθεὶς ἐν τῇ θεοδοξάστῳ καὶ θεομεγαλύντῳ Κωνσταντινουπόλει καὶ συνέσει πνευματικῇ καὶ ἀρετῇ κεκοσμημένος ἀπὸ θεοῦ, ἀπολαύει μὲν διὰ ταῦτα καὶ τῆς εὐμενείας τῆς παρὰ τῶν κρατίστων καὶ ἁγίων μου αὐτοκρατόρων, ἔχει δὲ καὶ ἐξαίρετον καὶ τὴν ἀπὸ τῆς ἡμῶν μετριότητος ἀδελφικὴν στοργὴν καὶ διάθεσιν, ὡς Χριστοῦ χάριτι δυνάμενος καὶ ψυχῶν προΐστασθαι

Acta Patr. Const. T. A σ. 331

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ϗ χειραγωγεῖν αὐτὰς πρὸς τὴν σωτηρίαν, ἤδη
γοῦν καταλαμβάνει τὸν θεὸν πρὸς ἡμᾶς ἡ πα-
ρεγγυᾶται πᾶσιν ἡμῖν ἡ μετριότης ἡμῶν, ὡς ἂν
ὑποδέξησθε τοῦτον μετὰ περιχαρείας, ϗ εὐφρανθῆτε
ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ, ϗ δέξησθε, ϗ πεισθῆτε ἐκ
[illegible], ὅσα μέλλει λέγειν ϗ διδάσκειν ὑμᾶς ψυ-
χωφελῆ ϗ σωτήρια, ὑπήκοοι τε αὐτῷ ϗ πειθαρχοῦν-
τες ὡς οἰκείῳ ποιμένι ϗ διδασκάλῳ, ἀποστολικαῖς
παραινέσεσιν ἐξακολουθοῦντες, ἡ γὰρ αὐτοῦ τιμὴ εἰς
τὴν ἡμῶν μετριότητα διαβαίνει, ϗ ἔχει τὴν ἀ-
ναφοράν, ϗ πάντα τρόπον ἐπαγωνιζόμενοι ἀναστρέ-
φεσθαι ϗ πολιτεύεσθαι, ὡς ἁρμόζει χριστιανοῖς ἀν-
θρώποις, κατὰ τοὺς θεσμοὺς τῆς ἐκκλησίας θεοῦ
ϗ καθὼς οἱ φιλευσεβεῖς τῶν χριστιανῶν ἀπαιτοῦσι
νόμοι, ἀγάπην ἔχοντες μετ' ἀλλήλων ϗ εἰρήνην,
ἐλεημοσύνην ϗ μετάδοσιν πρὸς τοὺς πένητας ϗ
τοὺς αἰχμαλώτους, ἐλαφορίαν πρὸς τοὺς πνευματι-
κοὺς πατέρας, τῶν ἐκκλησιαστικῶν συνάξεων ϗ
τῶν εἰς θεὸν ὑμνωδιῶν μηδαμῶς ἀπολιμπανόμενοι,
ἔτι καθάρσει ϗ ἁγιασμῷ τῶν οἰκείων ψυχῶν, ϗ ἀ-
σφαλῶς εἰσίν, πάσης μὲν ἁμαρτίας ἀπεχόμενοι, πά-
σης δὲ ἀγαθοεργίας ἀντεχόμενοι, ἐξ ἧς θεὸς θεραπεύ-
εται ϗ ἀμείβεται πλουσίως τοὺς οἰκείους θεράποντας,
ἵνα ϗ τὴν διὰ πλῆθος ἁμαρτιῶν ἐπενεχθεῖσαν τῷ

ἡμετέρῳ γένει καταιγίδα τῆς βαρβαρικῆς ἐφόδου ὁ πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς φιλάνθρωπος κύριος, τῶν οἰκείων σπλάγχνων ἐπιμνησθείς, εἰς αἰθρίαν μεταποιήσῃ, ὅδε γὰρ ἐκπληροῖ τὰ θελήματα τῶν φοβουμένων αὐτόν. παρακαλούμεθα δὲ καὶ τοῦτο, ἵνα πάντα τὰ τῆς ἐκκλησίας δίκαια εὑρίσκωνται ὑπὸ τὴν ἐξουσίαν τοῦ διαληφθέντος ἱερωτάτου μητροπολίτου, καὶ ἐάν τις ἔθνους καὶ κατέχῃ τι ἐξ αὐτῶν, ἢ τις ἀφ' ἡμῶν τῶν κληρικῶν ἢ τῶν ἄλλων, εἴτε χωραφιαίαν γῆν, εἴτε ἀμπέλιον ἢ ὑδρομύλωνα ἢ περιβόλιον ἢ ἀνδρογόν ἢ τι ἕτερον ἐκκλησιαστικὸν δίκαιον, παραδώσῃ τοῦτο ἀπροφασίστως πρὸς αὐτόν, ἐπειδὴ τὰ ἀφιερωμένα τῷ θεῷ ἀναπόσπαστα καὶ ἀναφαίρετα τὸν ἀεὶ χρόνον τυγχάνειν ὀφείλει, ὅσα ἀφιερῶνται, καὶ ὁ χεῖρα φιλονεικεῖν ἢ ἅρπαγα ἐπιβάλλειν τούτοις ἐπιχειρῶν ὡς ἱερόσυλος κρίνεται παρ' αὐτῶν, καὶ ἐπιτιμίῳ καθυποβάλλεται, ὃ δὴ ἐπιτίμιον ἀκολούθως καὶ ἡ μετριότης ἡμῶν ἐπανατείνεται κατὰ τοιούτων, μέχρις ἂν φέροντες ἐπαναδώσωσι τῇ ἐκκλησίᾳ τὰ παρ' αὐτῶν ἀφαιρεθέντα, κατὰ γὰρ τὴν τῶν αὐτῶν θείων καὶ ἱερῶν κανόνων παρακέλευσιν ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης ὀφείλει ἔχειν τὴν φροντίδα καὶ τὴν διοίκησιν πάντων τῶν τῆς ἐκκλησίας πραγ-

μάτων. ποιεῖτε τοίνυν ἀσμένως, καθάπερ ἡ μετριότης ἡμῶν παρεγγυᾶται ὑμῖν, ἵνα ἡ ἡ τοῦ θεοῦ χάρις εἴη μεθ' ὑμῶν +.

+ ͵ϛχξ΄ τῷ μηνὶ μαρτίῳ ἰνδ. ϛ΄ +.

183

Τραϊανουπόλεως Μητρόπολις 1365 μ.Χ.

+ Πρᾶξις ἐπὶ τῷ Τραϊανουπόλεως μεταθέσει εἰς (sic). Τὸ προοίμιον τοῦ πρωτονοταρίου [illegible]-νυ. + — Acta Patr. Const. T. A σ. 465.

+ Αἱ ἀπὸ ἐπισκοπῶν εἰς ἐπισκοπὰς καὶ μητρο-
πόλεων εἰς μητροπόλεις γινόμεναι μεταθέσεις καὶ με-
ταβάσεις, καλῶς ἄρα καὶ κατὰ τὸν προσήκοντα καὶ δί-
καιον λόγον ἐξ ἀρχῆς ἐλάχθησαν γίνεσθαι. κανὼν δὲ
καὶ δίκαιον ἅπαξ ἀρχὴν λαβὸν τῇ ἑξῆς διαδοχῇ
καὶ ἀλληλουχίᾳ συμπαραθέον, διαμένον ἀεὶ τὸ αὐτὸ
καὶ διασωζόμενον καὶ αὐτῶν γινομένων τῶν τοῦ χρόνου ῥευ-
μάτων καὶ πάντα παρασυρόντων ὑπεράνω ἑστηκὸς καὶ ὑπέρ-
τερον, ὥσπερ μὲν γὰρ θεός ἐστι καὶ προτέλειος καὶ ὑπερτέ-
λειος καὶ παντέλειος μόνος αὐτός, τὰ ἄλλα δὲ πάντα τὰ κρά-
τῃ σοφίας ἀνυπερβλήτῳ καὶ δυνάμεως ἀνεκδιηγήτῳ καὶ
ἀπείρῳ μεγέθει δεδημιουργημένα κατὰ τοῦ μὴ ὄντος εἰς τὸ εἶ-
ναι παραγαγὼν τῆς ἀρκούσης ἑκάστῳ μεταδίδωσι
τελειότητος, ὅσα τε ἐν ἀψύχοις αὐτοῖς καὶ ἐμψύχοις, ὅσα τε
ἐν ἀλόγοις καὶ ὅσα ἐν λογικοῖς θεωρεῖται, δικαίως καὶ δια-
τίθεται σχεδὸν ἄνωθεν κατιοῦσαν ἀπὸ τοῦ πρώτου καὶ
ἀμηχάνου κάλλους εἰς πᾶσαν γενητὴν φύσιν. εἰ
καί γε τῶν παρηγμένων κατὰ τὰ οἰκεῖα μέτρα καὶ τὰς
ἀναλογίας πολλῶν κρείττονας καὶ κατὰ τὰς ἐπιτηδειότητας

ἀναλογίας τελειοῦται παρά τοῦ κτίσαντος τάς πά-
σας. λόγῳ καὶ τά ὄρη σταθμῷ, προφητικῶς εἰπεῖν, καὶ
τόν οὐρανόν κεκοσμηκότος ἀμυδρῶς καὶ ποικίλῃ
φώτων μαρμαρυγῇ καὶ παναρμονίῳ κινήσει καὶ ἑλιγ-
μῷ, ταῦτά τοι καὶ ἡ καθ' ἡμᾶς ἱεραρχία καὶ σύμπα-
σα ἱερά τῆς ἐκκλησίας εὐκοσμία, τάξις τε καὶ κα-
τάστασις τήν ὑψηλήν καὶ ἄχραντον καὶ οὐρανίαν
ἱεραρχίαν φαίνεται μιμουμένη ταῖς κατά μικρόν
προκοπαῖς καὶ προόδοις καὶ ἀναβάσεσι δίκην ἀλληλεν-
δέτου καὶ χρυσοπλόκου σειρᾶς, εἰκόνα γάρ ἔστησεν ὁ
θεός τά ὁρώμενα ταῦτα τῶν ἀοράτων ἐκείνων, ἵνα
διά τούτων ἀναγώμεθα πρός τά θεῖα καὶ ὑψηλά καὶ
ὄντως ὑπερφυῆ, τάς ψυχάς καθαιρόμενοί τε καὶ λαμπρυ-
νόμενοι, καὶ ὅσον τις ἀδιαλώβητον τό κατ' εἰκόνα τη-
ρήσει, καὶ αὐτός δεκτικός τῶν θείων ἐλλάμψεων
καὶ ἐνεργειῶν ἑαυτόν παρασκευάσει, τοσοῦτον καὶ τοῦ
φωτισμοῦ ἀναλόγως μεταλαμβάνει. ἡ δέ παροῦ-
σα τῶν ἄρτι λεγομένων παράστασις καὶ οἰκονομία
καὶ ὁ σύμπας ταύτης σκοπός καὶ πρός τόν ἱερώτατον
μητροπολίτην Τραϊανουπόλεως, ὑπέρτιμον, ἐν ἁγί-
ῳ πνεύματι ἀγαπητόν ἀδελφόν τῆς ἡμῶν μετ-
ριότητος καὶ συλλειτουργόν τείνει καὶ ἀφορᾷ, ὅς τήν
στενήν ἐξ ἀρχῆς ἑλόμενος καὶ τεθλιμμένην ὁδόν
τήν ἀπάγουσαν εἰς τήν ζωήν καὶ τοῖς τοῦ θείου ἐρ-

πνοῖς καὶ ἡδύοιν ὁλοσχερῶν ἀπολαυόμενος ἐν ψυχῇ,
εἰς τὴν σεβασμίαν μονὴν τῆς ἁγίας τοῦ Χριστοῦ
καὶ Θεοῦ ἡμῶν ἀναστάσεως ὑπέρχεται, νέαν ἄγων
τὴν ἡλικίαν. ἐν αὐτῇ γοῦν ἀποκαρεὶς κατὰ μονα-
χοὺς καὶ τὸν σκληρὸν καὶ ἐπίπονον βίον, ταπεινοφροσύνῃ
τε καὶ ὑποταγῇ, εἰ δή τις καὶ ἄλλος, καὶ αὐτὸς ἐξασκή-
σας καὶ ταύτας καθάπερ ἀρραγεῖς κρηπῖδας στηριζόμε-
νος ἢ ἀσφαλεῖς θεμελίους ὑποβαλών τε καὶ ὑποστήσας
τῇ ὅλῃ οἰκοδομίᾳ τῆς ἀρετῆς, ἐν τε ἄλλαις χρείαις
ἄλλοτε ἄλλαις τῆς μονῆς οὐκ ἐντὸς μόνον, ἀλλὰ καὶ
ἐκτός, ὁπόθι καλοίη καιρός, ἀόκνως ὑπηρετήσας, ὡς
καὶ προκινδυνεῦσαι πολλάκις καὶ ἐν πολλοῖς πολλοὺς ἐ-
τρύγησε καὶ τοὺς τῆς ἀρετῆς καρπούς. ὕστερον δεδωκὼς
τε ἑαυτὸν ἀναγνώσει τῆς θεοπνεύστου γραφῆς καὶ εἰς
τὰ ταύτης ἐγκύψας βάθη, ἐντεῦθεν ἠρύσατο ποτιμώ-
τατα καὶ ἥδιστα νάματα, καὶ φωτὶ φῶς προσλαβὼν γνώσεως,
τοὺς ἱεροὺς βαθμοὺς κατὰ τάξιν ἀμείψας καὶ μετιών,
ὡς κριθεὶς ἄξιος τῇ μετουσίᾳ τῆς ἀρετῆς τῷ ἀρχιε-
ρατικῷ ὕστερον χαρίσματι τελειοῦται, καὶ οὕτω καὶ οὕ-
τος ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζω προβαίνει καὶ
τελειότερα κατὰ τὸν ἄνω τοῦ λόγου σκοπόν, καὶ μη-
τροπολίτης καθίσταται Τραϊανουπόλεως, καλῶς δ'
ἐν αὐτῇ ποιμάνας τὸ αὐτοῦ ποίμνιον καὶ ὡς φίλον
θεῷ καὶ διαπρέψας ἐν ἅπασιν, ἐπείπερ ὑπὸ τῆς τῶν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

186 πραγμάτων ἀκαιρολογίας τε καὶ συγχύσεως ἀφορμὴ καὶ αὕτη γένοιτο τοῖς ἀθέοις ἐχθροῖς, διὰ πλῆθος ἁμαρτιῶν, ἣν δὲ ἀνάγκη πᾶσα τὸν ποιμένα καὶ ποίμνιον ἔχειν· εἰ δὲ μή, πῶς ἂν εἰκότως καὶ ποιμὴν ὀνομάζοιτο; τὰ γὰρ τοιαῦτα ὄντα τῶν πρός τι συνεισάγουσιν ἄλληλα καὶ συναιροῦσιν ἄλληλα, οὕτω γὰρ πατέρα λέγοντες συνεισάγομεν καὶ υἱόν, καὶ διδάσκαλον εἰπόντες συνεπινοοῦμεν καὶ μαθητήν, καὶ δεσπότην ἂν φάσκοντες καὶ δοῦλον συνεισφέρομεν. στερεῖται δὲ καὶ ἡ ἁγία ἐκκλησία Λακεδαιμονίας τοῦ γνησίου ἀρχιερέως χρόνον ἱκανὸν ἤδη· νεύσαντος τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος, συνδιασκεψαμένων τῇ ἡμῶν μετριότητι τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Φιλαδελφείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Ποντοηρακλείας, τοῦ Μύρων, τοῦ Βιζύης, τοῦ Βρύσεως, τοῦ Ἀθηνῶν, τοῦ Ἀμάστριδος, τοῦ Ῥωσίου καὶ τοῦ Αἴνου καὶ τοῦ ὑποψηφίου Ἀδριανουπόλεως, ὁμοφωνησάντων ἁπάντων καὶ εἰς ταὐτὸ γνώμης ἐληλυθότων, μετετέθη εἰς τὴν ἁγιωτάτην μητρόπολιν Λακεδαιμονίας, ὡς ἂν μὴ τοσοῦτοι ζημιωθῶσιν, ὅσοιπερ ἂν εἶχον ἀπολαύσασθαι τῶν αὐτοῦ διδαχῶν, καθάπερ ἂν εἰ οὐχ μεγάλης ὕλης ἐπιλαβόμενος, καὶ διαθερμάναι καὶ διαθάλψαι πολλοὺς ἱκανὸς ὤν, εἶτα

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἀπείργοιτο καὶ μὴ ἔστω πάσας, ὁπόσας ἂν καὶ δύναιτο, ἀλλ' ὀλίγους διαθερμαίνειν· καθέξει τοίνυν ὁ ἱερώτατος μητροπολίτης ὁ τῆς Λακεδαιμονίας, ἀπολαύων τοῦ ταύτης ὀνόματος ἔν τε σκάμνοις καὶ καθέδραις καὶ ταῖς ἄλλαις τιμαῖς καὶ τὸν ἐν τοῖς ἱεροῖς διπτύχοις, ὡς εἴθισται, μνημόσυνον, κατὰ τὴν κανονικὴν ἀκρίβειάν τε καὶ παρατήρησιν, ὀφείλων ἐγκαθιδρυθῆναι καὶ τῷ ἱερῷ συνθρόνῳ τῆς κατ' αὐτὴν ταύτης ἐπισκοπίας, ἔχειν τε καὶ τὸν τόπον τοῦ Τραϊανουπόλεως, σφραγίζειν τε ἀναγνώστας καὶ ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν καὶ πάντα τὰ ἱερὰ πράττειν ἀκωλύτως ἐν πάσῃ τῇ εἰς αὐτὸν ἐνορίᾳ, ὡς γνήσιος ἀρχιερεὺς καὶ ὢν καὶ ὀνομαζόμενος καὶ διδάσκαλος καὶ φροντιστὴς καταστὰς τῶν ψυχῶν αὐτῶν καὶ ὁδηγῶν αὐτοὺς ἐπὶ τὰ κρείττω καὶ σωτηρίας ἐχόμενα, εἰδὼς ὡς λόγον δώσει καὶ αὐτὸς τῷ θεῷ ἐν ἡμέρᾳ ἐτάσεως, ὀφειλόντων καὶ αὐτῶν ὑπείκειν καὶ ὑποτάσσεσθαι τούτῳ ὡς ποιμένι καὶ φροντιστῇ τῶν ψυχῶν αὐτῶν καταστάντι. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος †.

† Μηνὶ Ἰουνίῳ ἰνδ. γ' †.